ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΘΕΟΦΑΝΟΥΣ

## ΤΟΥ ΝΕΟΥ

ΤΟΥ ΕΞ ΙΩΑΝΝΙΝΩΝ, ΠΟΛΙΟΥΧΟΥ ΝΑΟΥΣΗΣ

*Τοῦ ἐν Σκήτῃ τῆς Βερροίας ἀσκήσαντος*

**ΤΑΥΤῌ ΠΡΟΣΕΤΕΘΗΣΑΝ Ο ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΚΑΙ ΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ, ΗΤΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ**

ΒΕΡΡΟΙΑ 1980

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΘΕΟΦΑΝΟΥΣ ΤΟΥ ΝΕΟΥ
# ΤΟΥ ΕΞ ΙΩΑΝΝΙΝΩΝ ΠΟΛΙΟΥΧΟΥ ΝΑΟΥΣΗΣ

ΤΑΥΤῌ ΠΡΟΣΕΤΕΘΗΣΑΝ Ο ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΚΑΙ ΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ,
ΗΤΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑ π ὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΕΡΡΟΙΑΣ ΚΑΙ ΝΑΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΘΕΟΦΑΝΟΥΣ

## ΤΟΥ ΝΕΟΥ

ΤΟΥ ΕΞ ΙΩΑΝΝΙΝΩΝ, ΠΟΛΙΟΥΧΟΥ ΝΑΟΥΣΗΣ

*Τοῦ ἐν Σκήτῃ τῆς Βερροίας ἀσκήσαντος*

ΤΑΥΤῌ ΠΡΟΣΕΤΕΘΗΣΑΝ Ο ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΚΑΙ ΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ,
ΗΤΟΙ ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ

ΒΕΡΡΟΙΑ 1980

*ΙΕΡΑ ΣΥΝΟΔΟΣ*

*ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ*

*Π ρ ὸ ς*

*Τὸν Σεβασμιώτατον Μητροπολίτην*

*Βερροίας καὶ Ναούσης κ. Παῦλον*

*Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,*

*Ἔχοντες ὑπ' ὄψει τὰς ὑποβληθείσας ἡμῖν, διὰ τοῦ ὑπ' ἀριθμ. Πρωτ. 165/1-6-1979 ὑμετέρου ἐγγράφου ἀκολουθίας, α) τοῦ Ὁσίου Ἀντωνίου, Πολιούχου Βερροίας, β) τοῦ Ἁγίου Νεομάρτυρος Ἀθανασίου τοῦ ἐκ Πύργου, γ) τῆς Ὁσιομάρτυρος Ἱερουσαλὴμ καὶ παρακλητικὸν Κανόνα εἰς τὸν Ὅσιον Θεοφάνην, πολιοῦχον Ναούσης, ποιηθείσας ὑπὸ τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, ὡς καὶ τὴν σχετικὴν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Γόρτυνος καὶ Μεγαλοπόλεως κ. Θεοφίλου, Προέδρου τῆς Συνοδικῆς Ἐπιτροπῆς Ποιμαντικοῦ Ἔργου τῆς 122ας Συνοδικῆς Περιόδου, Συνοδικῇ ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 4-9-1979, ἐγκρίνομεν ταύτας ὡς καλῶς ἐχούσας καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐταῖς καὶ παρακαλοῦμεν, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε ἡμῖν πέντε (5) ἀντίτυπα τῶν ἐκδοθησομένων ἀνωτέρω Ἀκολουθιῶν διὰ τὸ Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Ποιμαντικοῦ Ἔργου καὶ Θείας Λατρείας.*

*Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.*

*† Ὁ Ἀθηνῶν ΣΕΡΑΦΕΙΜ, Πρόεδρος*

*Ὁ Ἀρχιγραμματεὺς*

*† Ἀρχιμ. ΙΕΡΩΝΥΜΟΣ ΛΙΑΠΗΣ*

# ΠΡΟΛΟΓΟΣ

Ἡ Ἀποστολικὴ Ἐκκλησία τῆς Βερροίας σεμνύνεται καὶ καυχᾶται, διότι ἔχει νὰ ἐπιδείξῃ χορείαν ἁγίων τοῦ Χριστοῦ, οἵτινες ὡς ἀστέρες πάμφωτοι καταλάμπουσιν ἐν τῷ νοητῷ στερεώματι τῆς Ἁγίας Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας. Μετὰ βαθυτάτης εὐλαβείας κλίνομεν τὰ γόνατα τῆς ψυχῆς καὶ τοῦ σώματος πρὸ τῆς σεπτῆς κάρας τοῦ Ὁσίου Θεοφάνους, τοῦ ἐν τῇ Ἱερᾷ Μονῇ Τιμίου Προδρόμου (Σκήτης Βερροίας) ἀσκήσαντος ἐπικαλούμενοι τὴν εὐλογίαν καὶ προστασίαν του. Ἀγάλλεται δὲ καὶ χαίρει ἡ πόλις τῆς Ναούσης, διότι ἔχει τοιοῦτον πολιοῦχον καὶ προστάτην.

Ὁ σκοπὸς τῆς παρούσης ἐκδόσεως τῆς Ἀκολουθίας τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους, εἶναι διττός: πρῶτον ἡ ὀφειλομένη τιμὴ πρὸς τὸν Ὅσιον καὶ ἡ δόξα τοῦ Χριστοῦ καὶ δεύτερον ἡ ἀναζωπύρωσις τοῦ φρονήματος τῶν εὐσεβῶν χριστιανῶν τῆς Μητροπολιτικῆς ἡμῶν Περιφερείας.

Προσφέροντες τὴν παροῦσαν ἀκολουθίαν, —ἡ ὁποία ἐποιήθη ἐν Ἁγίῳ Ὄρει ὑπὸ τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας— εἰς τὸ εὐσεβὲς καὶ ἀγαπητὸν ἡμῶν ποίμνιον καὶ εἰς πάντα εὐσεβῆ, ἐπικαλούμεθα ἐπ' αὐτοὺς τὴν χάριν καὶ τὴν εὐλογίαν τοῦ Κυρίου, διὰ πρεσβειῶν τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ Νέου.

Ἔγραφον ἐν τῷ Ἱερῷ Ἐπισκοπείῳ Βερροίας τὴν Κυριακὴν τῆς Σταυροπροσκυνήσεως 1980.

† Ὁ Βερροίας, Καμπανίας καὶ Ναούσης

ΠΑΥΛΟΣ





# ΑΥΓΟΥΣΤΟΥ ΙΘ΄

## Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν

# ΘΕΟΦΑΝΟΥΣ

## τοῦ Θαυματουργοῦ, ἐξ Ἰωαννίνων μὲν καταγομένου, πολιούχου ὄντος τῆς πόλεως Ναούσης.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Κόσμον ἀρνησάμενος, ἀπὸ νεότητος Ὅσιε, ὡς τρωθεὶς θείῳ ἔρωτι, Χριστῷ ἠκολούθησας, ἄρας τὸν σταυρόν σου, καὶ ἐν Ὄρει Ἄθω, δραμὼν ζωὴν ἀσκητικήν, οἷάπερ ἄγγελος πεπολίτευσαι, Θεόφανες μακάριε, καὶ ἐνεργείας τοῦ Πνεύματος, ἐχρημάτισας ὄργανον, ἀπαθείᾳ κοσμούμενος.

Τύπος θείων πράξεων, τῇ καθαρᾷ πολιτείᾳ σου, δεδειγμένος Θεόφανες, ποιμὴν ἐχρημάτισας, τῆς Δοχειαρίου. Μάνδρας θείᾳ νεύσει, καὶ καθωδήγησας αὐτήν, ἐπὶ τὸ ὕδωρ ζωῆς τῆς κρείττονος, διὸ καὶ μακαρίζει σε, καὶ σὺν αὐτῇ Ἰωάννινα, ἡ βλαστήσασα πόλις σε, εὐχαρίστως γεραίρει σε.

Βέρροια καὶ Νάουσα, ἁγιασθεῖσαι Θεόφανες, τοῖς Ὁσίοις καμάτοις σου, Χριστὸν μεγαλύνουσι, τὸν σοὶ δεδωκότα, χάριν τῶν θαυμάτων, ὃν καθικέτευε ἀεί, ὑπὲρ τῶν πόθῳ ἐπιτελούντων σου, τὴν μνήμην τὴν πανίερον, καὶ εὐφημούντων σε Ὅσιε, ὅπως εὕρωμεν ἔλεος, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Θαύμασιν ἐδόξασε, τὴν σὴν ζωὴν ὁ Φιλάνθρωπος, Θεοφόρε Θεόφανες· ἐντεῦθεν ἡ κάρα σου, βρύει τὰς ἰάσεις, ἥνπερ ὥσπερ πλοῦτον, καὶ θησαυρὸν πολυτελῆ, πόλις Ναούσης πλουτοῦσα Ὅσιε, προστάτην ἐπιγράφεται, καὶ πολιοῦχόν σε μέγιστον, τὴν ἐτήσιον μνήμην σου, χαρμοσύνως γεραίρουσα.

Δόξα. Ἦχος δ΄.

Ἀσκητικὸν ὑπελθὼν ἀγῶνα, πνευματικῶν ἐπλήσθης χαρισμάτων, καθάρας σεαυτόν, Θεοφόρε Θεόφανες· τῶν γὰρ πάλαι Ὁσίων, μιμητὴς ἀνεδείχθης, καὶ τῶν κατ' ἐκείνους γερῶν ἠξιώθης, ὡς τοῦ Θεοῦ θεράπων γνήσιος· διό σου τὴν μνήμην ἑορτάζοντες, δοξάζομεν Χριστόν, τὸν λαμπρῶς σὲ θαυμαστώσαντα.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Θεῖον ὡς ἀληθῶς, δοχεῖον ἀνεδείχθης, τῆς θείας ἐνεργείας, τῇ καθαρᾷ ζωῇ σου, Θεόφανες μακάριε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος...

Πόνοις ἀσκητικοῖς, νεκρώσας τῆς σαρκός σου, τὸ φρόνημα θεόφρον, ἐπτέρωσας τὸν νοῦν σου, πρὸς δόξαν ὑπερκόσμιον.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Νάουσα ἐν χαρᾷ, Θεόφανες γεραίρει, τὴν ἱεράν σου μνήμην, πλουτοῦσά σου τὴν κάραν, οἷα πηγὴ ἰάσεων.

Δόξα. Τριαδικόν.

Δόξης ἀξιωθείς, τῆς Τρισηλίου Πάτερ, τὴν μίαν Θεαρχίαν, Πατέρα Λόγον Πνεῦμα, δοξάζεις ὦ Θεόφανες.

Καὶ νῦν. Θεοτοκίον.

Πᾶσαι τῶν οὐρανῶν, ἤνεσαν αἱ Δυνάμεις, τὴν Κοίμησίν σου Κόρη, ἀνθρώπων δὲ τὸ γένος, σώζεται τῇ σῇ χάριτι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος α´. Πανεύφημοι Μάρτυρες.

Πάτερ Θεόφανες Θεῷ, οὐρανίῳ ἔρωτι, ἀνατεθεὶς ἐκ νεότητος, βίον ἰσάγγελον, ἔζησας ἐν κόσμῳ, καὶ προσφόρως ἔτυχες, λαμπρᾶς θεοφανείας ἐν Πνεύματι, βλύζων τοῖς χρήζουσιν, ἰαμάτων χάριν ἄφθονον, καὶ πρεσβεύων, ὑπὲρ τῶν τιμώντων σε.

Πάτερ Θεόφανες φωστήρ, ἐν τῷ Ἄθῳ πέφηνας, τῶν Μοναστῶν τῇ ἀσκήσει σου, καὶ ἐν Ναούσῃ δέ, ἀρεταῖς ἐκλάμψας, ταύτην καθηγίασας, τοῖς θαύμασι τῶν θείων λειψάνων σου· διὸ ὡς μέγαν σε, πολιοῦχον ἐπιγράφεται, καὶ πανδήμως, ἐκτελεῖ τὴν μνήμην σου.

Πάτερ Θεόφανες πολλοῖς, δοξασθεὶς ἐν θαύμασι, δόξα καὶ καύχημα πέφηνας, τῆς βλαστησάσης σε, τῶν Ἰωαννίνων, περιβλέπτου πόλεως· ἐκ ταύτης γὰρ ἐξήνθησας Ὅσιε, ὡς ἄνθος εὔοσμον, καὶ εὐφραίνεις τὰς ψυχὰς ἡμῶν, εὐωδίᾳ, τῶν κατορθωμάτων σου.

Προσόμοια ἕτερα.

Ἦχος β´. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασιν ἀναδήσωμεν τὸν θεοφόρον; τὸν ἀσκητικῶς διαλάμψαντα, καὶ Θεοῦ φανέντα θεράποντα, θεοπρεπεστάτῃ πολιτείᾳ· τῆς θείας, θεοφανείας τὸν φερώνυμον, καὶ πλήρη, τῆς μυστικῆς ταύτης ἐλλάμψεως, τὸν ἱερὸν Θεοφάνην, τὸν παρὰ Κυρίου, δοξασθέντα θεουργικῶς, καὶ πᾶσιν αἰτούμενον, ἱλασμὸν καὶ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, εὐφημήσωμεν τὸν θεοφόρον; τὸν ἐν Ἄθῳ βίον ἰσάγγελον, πόθῳ θεϊκῷ βιωσάμενον, καὶ καταβαλόντα τὸν Βελίαρ· τὸ κρίνον, Ἰωαννίνων τὸ πανεύοσμον· Ναούσης, τὸν πολιοῦχον τὸν θερμότατον· τὸν ἀναβλύζοντα πᾶσιν, ἰαμάτων ῥεῖθρα, καὶ παρέχοντα τοῖς πιστοῖς, ὑγείαν καὶ ἔλεος, καὶ παθῶν τὴν ἀπολύτρωσιν.

Πάντες οἱ εὐσεβεῖς ᾄσμασι, καταστέψωμεν τὴν θείαν Κάραν, τὴν τοῦ Θεοφάνους τοῦ μάκαρος, τὴν χαριτωθεῖσαν λαμπρότατα, τῇ τοῦ Παρακλήτου ἐνεργείᾳ· ἀεὶ γάρ, χύδην βλυστάνει τὰ ἰάματα, καὶ παύει, παθῶν ποικίλων τὴν ἐπήρειαν, καὶ ἀκαθάρτων πνευμάτων, ἀπελαύνει λύμην, δρόσον θείας ἀναψυχῆς, ἀπαύστως βραβεύουσα, τοῖς πιστοῖς καὶ θεῖον ἔλεος.

Δόξα... Ἦχος πλ. β΄.

Σήμερον ἡ τοῦ Ὁσίου Θεοφάνους μνήμη, ὡς ἀστὴρ νεοφανὴς ἐπέστη, τὴν Ἐκκλησίαν φαιδρύνουσα· ἐν ὁσιότητι γὰρ καὶ ἀληθείᾳ, τοῖς πάλαι Ὁσίοις ἁμιλληθείς, τῇ τῶν θείων δωρεῶν χορηγίᾳ, λαμπρύνει τοὺς βοῶντας· χαίροις ὁ τῇ κλήσει προσφόρως πολιτευσάμενος, καὶ τῆς μυστικῆς θεοφανείας, θησαυρίσας τὰς χάριτας· χαίροις ὁ παρὰ Θεοῦ ἀξίως δοξασθείς, καὶ θαυμάτων δυνάμεσιν, ἐκφαίνων τὴν χάριν· χαίροις Ἰωαννίνων ὁ βλαστός, Ὄρους Ἄθω καύχημα, καὶ Ναούσης ἀρωγὸς καὶ προστάτης. Πρέσβευε πρὸς Κύριον, Ὅσιε Πάτερ, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Καὶ νῦν... Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Τῇ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτερ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους, αἰθερίους διήρπαζον· καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν, τῷ ἀχράντῳ σου σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριήλ, μελῳδοῦντες ἀνεβόων· χαῖρε Κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ. Μεθ' ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄, 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλο-

κάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε', 15).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ', 7).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά,

καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα.

Ἦχος α'.

Ἀνατεθεὶς τῷ Κυρίῳ, τὴν τοῦ κόσμου σχέσιν ἀπεῖπας, θεοφόρε Θεόφανες· καὶ ἀσκητικῶς ἀγωνισάμενος, σκεῦος πολύτιμον, τῆς ἐπιπνοίας τοῦ Πνεύματος, ἐχρημάτισας Ὅσιε. Ὅθεν Ἰωαννίνων ἡ πόλις, τοῖς σπαργάνοις σου γάνυται, καὶ ὁ Ἄθως χαίρει τοῖς σοῖς ἀγῶσι, πλέον δὲ τούτων ἡ Νάουσα χορεύει, ἀρδευθεῖσα τοῖς ἱδρῶσί σου, καὶ τοῖς σοῖς ἁγίοις λειψάνοις, ἁγιασμὸν καρπουμένη, καὶ πᾶσαν δόσιν ἀγαθήν, παρὰ Θεοῦ λαμβάνουσα. Ἀλλ' ὦ Πατέρων ἰσότιμε, δίδου πᾶσι τοῖς τιμῶσί σε, ἱλασμὸν ἁμαρτιῶν, ὡς παρρησίαν ἔχων πρὸς Κύριον.

Ἦχος β'.

Τὸν τοῦ Χριστοῦ Σταυρὸν ἀράμενος, ἅπαν ἄχθος ὑλικὸν ἀπέρριψας, θείῳ πόθῳ πτερωθείς, θεόφρον Θεόφανες· καὶ ὡς διψῶσα ἔλαφος, ἐν τῷ Ἄθῳ δραμών, τοῦ σωτηρίου νάματος, ἀσκητικῶς ἐτρύφησας, σεαυτὸν σταυρώσας τοῖς πάθεσι· καὶ τῇ ἀπαθείᾳ δοξασθείς, θαυμάτων ὤφθης αὐτουργός, καὶ Μοναστῶν ὑπόδειγμα, καὶ ὑποφήτης πρακτικός, πρὸς ἀναβάσεις ἱεράς· Χριστὸς γὰρ ὃν ἠγάπησας, λαμπρῶς σε ἐδόξασε.

Ἦχος γ'.

Τῶν πάλαι Ὁσίων μιμητὴς γενόμενος, ἐν λόγῳ ἐν ἔργῳ ἐν ἀναστροφῇ, τῶν κατ' ἐκείνους δωρεῶν ἠξίωσαι, θεοφόρε Θεόφανες· οὐ μόνον γὰρ Μοναστῶν ὁδηγὸς θεόκριτος ὤφθης, ἀλλὰ καὶ θαυμάτων δύναμιν, παρὰ Θεοῦ πλουσίαν δέδεξαι· πᾶσι γὰρ παρέχεις τὰ πρόσφορα, καὶ περιὼν τῇ σαρκί, καὶ πρὸς Θεὸν μετελθών, οἷα πατὴρ φιλόστοργος· καὶ πρεσβεύεις ἀπαύστως, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Ἀσκητικαῖς ἀριστείαις, καθαγνίσας σεαυτόν, ναὸς ἔμψυχος ὤφθης τῆς Ἁγίας Τριάδος, θεοφόρε Θεόφανες· ἔνθεν θείους ναούς, εἰς δόξαν Θεοῦ ἐδείμω, καὶ Μάνδρας ἱερὰς συνεστήσω, εἰς συγκρότησιν Μοναστῶν, καὶ κάθαρσιν ψυχῶν, καὶ σωτηρίαν αἰώνιον· ὡς γὰρ φῶς ἡ πολιτεία σου ἔλαμψε, καὶ πρὸς μίμησιν τοῦ βίου σου, πλείστους εἵλκυσεν· ὅθεν ἡ Νάουσα τῶν ἱερῶν σου πόνων πλησθεῖσα, κηρύττει τὴν χάριν σου· καὶ τὴν σεπτήν σου Κάραν προσπτυσσομένη βοᾷ σοι· Σκέπη μοι ἔσο ἐσαεὶ Ὅσιε, καὶ πρὸς Χριστὸν μεσίτης ἀξιόθεος.

Δόξα... Ὁ αὐτός.

Τὴν ἀσκητικὴν ζωήν σου, ὁ τῆς δόξης δοξάζων Κύριος, δεδοξασμένην ἡμῖν ἀνέδειξε, τὴν σορὸν τῶν λειψάνων σου, πανένδοξε Πάτερ Θεόφανες· ἰάσεις γὰρ παντοίας πηγάζει, καὶ θαυματουργεῖ τοῖς προστρέχουσιν· ὅθεν τὴν ἁγίαν Κάραν σου, ὡς ἁγίασμα νοητὸν κυκλοῦντες, ἁγιαζόμεθα ψυχὰς καὶ σώματα, καὶ αἶνον Χριστῷ προσάγομεν, τῷ λαμπρῶς σε θαυμαστώσαντι.

Καὶ νῦν... Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Τὴν πάνσεπτόν σου Κοίμησιν, Παναγία Παρθένε Ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος, ἐπὶ τῆς γῆς μακαρίζομεν· ὅτι Μήτηρ γέγονας τοῦ Ποιητοῦ τῶν ἁπάντων, Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε Πανύμνητε καὶ Ἀπειρόγαμε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἰωαννίνων βλαστός· θεοφανείας μυστικῆς ὁ ἐπώνυμος, ὁ βίῳ λελαμπρυσμένῳ, καταπλουτήσας αὐτῆς, τὴν ἐν μυστηρίῳ θείαν ἔλλαμψιν, Θεόφανες Ὅσιε, Μοναστῶν ἐγκαλλώπισμα, τῆς ἐγκρατείας, ἀληθὴς ὑποτύπωσις, σκεῦος πάγχρυσον, δωρημάτων τοῦ Πνεύματος· ἥλιος ὁ νεόφωτος, τῆς θείας ἀσκήσεως, ὁ νοηταῖς φωταυγείαις, λύων παθῶν τὴν σκοτόμαιναν. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις ὁ ἐν καρδίᾳ δεχθείς, τὸ πῦρ τὸ θεῖον τῆς Χριστοῦ ἀγαπήσεως, Θεόφανες θεοφόρε· ἔνθεν ὁσίας ζωῆς, λύχνος ἐν τῷ Ἄθῳ ὤφθης πάμφωτος, καὶ φέγγει τοῦ βίου σου, τὴν Μονὴν κατελάμπρυνας, Δοχειαρίου, καὶ τὴν Νάουσαν Ὅσιε, καθηγίασας, ἱεροῖς σου παλαίσμασιν· ὅθεν καὶ τῆς σῆς χάριτος, ἡ Βέρροια ἔτυχεν· ὅτι Προδρόμου τῇ Σκήτῃ, πλείονα χρόνον ἠγώνισαι. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις ὁ τῆς Ναούσης λαμπτήρ, καὶ πολιοῦχος καὶ μεσίτης πρὸς Κύριον, Θεόφανες θεοφόρε, ἡ τῶν θαυμάτων πηγή, ἰαμάτων ρεῖθρα ἀναβλύζουσα· λεπροὺς γὰρ ἐκάθηρας, δαιμονῶντας ἰάτρευσας, λοιμώδη νόσον, ἀρωγῇ σου ἀπήλασας, καὶ αἱμόρροιαν, χαλεπὴν ἐθεράπευσας· ἄνωθεν δὲ κατήγαγες, βροχὴν τῇ ἐντεύξει σου, καὶ τῆς θαλάσσης τὸν σάλον, τῇ προσευχῇ σου κατέπαυσας· Χριστὸς γάρ σε Πάτερ, ὁ δεχθείς σου τοὺς ἀγῶνας, λαμπρῶς ἐδόξασε.

Δόξα... Ἦχος δ'.

Τῶν ἀρετῶν σου τῷ φωτί, ἡ Ἐκκλησία τοῦ Χριστοῦ λαμπρυνομένη, ᾀσματικῶς σε μακαρίζει, παμμακάριστε Θεόφανες· θεοφανῶς γὰρ ἐξέλαμψας, ἐν ὑστέροις χρόνοις, καὶ θαυμάτων ἐνεργείαις εὐεργετεῖς, τοὺς προσιόντας τῇ ἀντιλήψει σου, οἷα Θεοῦ θεράπων ἐνθεώτατος. Ἀλλ' ὡς Ἁγίων σύσκηνος, ὡς τῶν τρόπων μιμητής, σὺν αὐτοῖς ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν... Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ὅτε ἐξεδήμησας Θεοτόκε Παρθένε, πρὸς τὸν ἐκ σοῦ τεχθέντα ἀφράστως, παρῆν Ἰάκωβος ὁ Ἀδελφόθεος, καὶ πρῶτος Ἱεράρχης, Πέτρος τε ἡ τιμιωτάτη κορυφαία, τῶν Θεολόγων ἀκρότης, καὶ σύμπας ὁ θεῖος τῶν Ἀποστόλων χορός, ἐκφαντορικαῖς θεολογίαις, ὑμνολογοῦντες τὸ θεῖον καὶ ἐξαίσιον, τῆς Χριστοῦ τοῦ Θεοῦ, οἰκονομίας μυστήριον· καὶ τὸ ζωαρχικόν, καὶ θεοδόχον σου σῶμα κηδεύσαντες, ἔχαιρον Πανύμνητε. Ὕπερθεν δὲ αἱ πανάγιαι, καὶ πρεσβύταται τῶν Ἀγγέλων δυνάμεις, τὸ θαῦμα ἐκπληττόμεναι, κεκυφυῖαι ἀλλήλαις ἔλεγον· Ἄρατε ὑμῶν τὰς πύλας, καὶ ὑποδέξασθε

τὴν τεκοῦσαν, τὸν οὐρανοῦ καὶ γῆς Ποιητήν· δοξολογίαις τε ἀνυμνήσωμεν, τὸ σεπτὸν καὶ ἅγιον σῶμα, τὸ χωρῆσαν τὸν ἡμῖν, ἀθεώρητον καὶ Κύριον. Διόπερ καὶ ἡμεῖς, τὴν μνήμην σου ἑορτάζοντες, ἐκβοῶμέν σοι Πανύμνητε· Χριστιανῶν τὸ κέρας ὕψωσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Βλαστὸς Ἰωαννίνων ἀνεδείχθης περίδοξος, καὶ θεῖος πολιοῦχος τῆς Ναούσης Θεόφανες· ὡς ἄγγελος γὰρ ζήσας ἐπὶ γῆς, θαυμάτων ἐκομίσω δωρεάν, καὶ παρέχεις τὰς ἰάσεις τοῖς εὐλαβῶς, προστρέχουσι τῇ σκέπῃ σου. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Θεῖον βλάστημα, Ἰωαννίνων, πολιοῦχος δέ, Ναούσης ὤφθης, τῇ σῇ ἀσκήσει παμμάκαρ Θεόφανες· καὶ τῶν θαυμάτων πηγάζων τὰς χάριτας, πάθη ποικίλα ἰᾶσαι ἑκάστοτε. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἐν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας...

Ἀ π ό λ υ σ ι ς.



# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Θεράπων τοῦ Θεοῦ, θεοφόρος ἐδείχθης, Θεόφανες σοφέ, τῇ ὁσίᾳ ζωῇ σου, καὶ δόξαν ὑπερκόσμιον, ὥσπερ κλῆρον ἀπείληφας, ἐν ᾗ πρέσβευε, ὑπὲρ ἡμῶν τῶν τιμώντων, τὴν ἁγίαν σου, καὶ ἀεισέβαστον μνήμην, εὑρεῖν θεῖον ἔλεος.

Τῆς Ἑορτῆς, ὅμοιον.

Ἡ Μήτηρ τῆς ζωῆς, πρὸς ζωὴν τὴν ἀγήρω, μετέστης ἀπὸ γῆς, μετὰ δόξης ἀρρήτου, καὶ χαίρουσα παρέστηκας, δεξιᾷ ὥσπερ ἄνασσα, τοῦ ἐκλάμψαντος, ἐκ τῆς ἀχράντου γαστρός σου· ὅθεν ἅπαντες, ἐν τῇ σεπτῇ σου Κοιμήσει, ὑμνοῦμέν σε Δέσποινα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Θείου ἔρωτος, δεχθεὶς τὴν φλόγα, κόσμου ἔλιπες, τὴν κοινωνίαν, καὶ Ἀγγέλων μιμητὴς ἐχρημάτισας· ἀσκητικῶς γὰρ βιώσας Θεόφανες, θαυματουργὸς ἀνεδείχθης περίδοξος. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τῆς Ἑορτῆς, ὅμοιον.

Πρὸς ἀνέσπερον, ἀνῆλθες δόξαν, καὶ οὐκ ἔλιπες, τὸν κόσμον Κόρη, ἀλλὰ παρέχεις ἀεὶ χάριν ἄφθονον, τοῖς ἀνυμνοῦσι τὴν θείαν σου Κοίμησιν, καὶ καθ᾽ ἑκάστην ἡμέραν βοῶσί σοι· χαῖρε Πάναγνε, ἡ γῆθεν λαμπρῶς ἀπάρασα, ὡς Μήτηρ τοῦ τῶν ὅλων βασιλεύοντος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐν Ἄθῳ τὸ πρότερον, εὐαρεστήσας Χριστῷ, εἰς Νάουσαν ὕστερον, τῶν ἀρετῶν σου τὸ φῶς, ἐκλάμψας Θεόφανες, λύχνος λαμπρὸς ἐν ταύτῃ, εὐσεβείας ὡράθης, θαύμασι βεβαιώσας, τὴν δοθεῖσάν σοι χάριν· διό σε ὡς θεράποντα, Χριστοῦ μακαρίζομεν.

Τῆς Ἑορτῆς, ὅμοιον.

Τῆς σῆς Μεταστάσεως, τοῖς μεγαλείοις Ἁγνή, μεθέορτον αἴνεσιν, ἐν εὐφροσύνῃ ψυχῆς, προσάδομεν Δέσποινα· σὺ γὰρ μετατεθεῖσα, πρὸς ἀμήχανον κάλλος, δίδως τὴν μητρικήν σου, ἀρωγὴν τοῖς βοῶσι· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν'. Δόξα... Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Θεραπεύσας τὸν Θεόν, ἀσκητικῇ πολιτείᾳ, θεράπων αὐτοῦ θεοειδὴς ἀνεδείχθης, θεοφόρε Θεόφανες, καὶ πλήρης δωρεῶν τοῦ θείου Πνεύματος· καὶ τῶν τῆς σαρκὸς λυθεὶς δεσμῶν, τῆς ἐμφανείας αὐτοῦ καθαρώτερον ἀπολαύεις, τῆς ὑπὲρ νοῦν μετέχων θεώσεως. Ἀλλὰ πρέσβευε δεόμεθα Ὅσιε, τυχεῖν καὶ ἡμᾶς, τῆς αἰωνίου λαμπρότητος.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου.

Κανὼν τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς·

«Θεόφανες θεῖον φῶς μοι δίδου. Γερασίμου».

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Θεράπων θερμότατος, Θεοῦ ὑπάρχων Θεόφανες, αὐτὸν καθικέτευε, δοῦναί μοι Ὅσιε, φῶς οὐράνιον καὶ χάριν ἐν τῷ λόγῳ, ὑμνῆσαι ἐν ᾄσμασι, τὰς ἀριστείας σου.

Ἐκ πόλεως ἤνθησας, Ἰωαννίνων Θεόφανες, ὡς ἄνθος πανεύοσμον, τῆς θείας χάριτος, καὶ κατηύφρανας, ὀσμῇ τῶν σῶν ἀγώνων, τὸ Ὄρος τοῦ Ἄθωνος, Πάτερ καὶ Νάουσαν.

Ὁ βίος σου Ὅσιε, ταῖς ἀρεταῖς λαμπρυνόμενος, ἀστέρα σε ἔδειξε, κόσμῳ, νεόφωτον, καταυγάζοντα, αὐγαῖς ταῖς τῶν θαυμάτων, πιστῶν τὰ πληρώματα, Πάτερ Θεόφανες.

Θεοτοκίον.

Φωτὶ τοῦ προσώπου σου, τὴν σκοτισθεῖσαν καρδίαν μου, παθῶν ἀμαυρότητι, λάμπρυνον Δέσποινα, καὶ παράσχου μοι, μετάνοιαν γνησίαν, ὡς ἂν τύχω Ἄχραντε ζωῆς τῆς κρείττονος.

Καταβασία. Πεποικιλμένη τῇ θείᾳ δόξῃ...

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ἀράμενος Πάτερ τὸν σταυρόν σου, Ὁσίων τῶν πάλαι τὴν ζωήν, ἐζήλωσας Θεόφανες, καὶ χαίρων κατεσκήνωσας, ἐν Ὄρει τῷ τοῦ Ἄθωνος, ἀσκητικῶς γυμναζόμενος.

Νεκρώσας ἀσκήσεως καμάτοις, τὸ φρόνημα Πάτερ τῆς σαρκός, ζωῆς τῆς ὑπὲρ ἔννοιαν, θείους καρποὺς ἐξήνθησας, ἐν τῇ Μονῇ Θεόφανες, Δοχειαρίου ἐν Πνεύματι.

Ἐπλήσθης ἐλλάμψεως τῆς θείας· ἐντεῦθεν φωστὴρ θεοφανής, καὶ κυβερνήτης ἔνθεος, τῆς ἐν τῷ Ἄθῳ Ὅσιε, Μονῆς ὤφθης ἐν Πνεύματι, Δοχειαρίου Θεόφανες.

Θεοτοκίον.

Σκηνὴ φωτοστόλιστος τῆς δόξης, τῆς θείας ἐδείχθης ἀληθῶς, ἐν ᾗ ὁ Λόγος ᾤκησεν, δι᾿ ἄκραν ἀγαθότητα, καὶ σὰρξ ἐκ σοῦ γεγένηται, μείνας ὃ ἦν Κόρη Πάναγνε.

Καταβασία· Ἡ δημιουργικὴ καὶ συνεκτική...

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἐν ἀσκήσει ἐκλάμψας Πάτερ Θεόφανες, θεοδωρήτων χαρίτων ἐδείχθης σκήνωμα, καὶ πηγάζεις τοῖς πιστοῖς χάριν ἰάσεων. Ὅθεν χαίρουσιν ἐν σοί, Ἰωάννινα σεπτῶς, καὶ Νάουσα θεοφόρε· τῆς μὲν γὰρ γόνος ὑπάρχεις, τῆς δὲ προστάτης προμηθέστατος.

Τῆς Ἑορτῆς, ὅμοιον.

Ἐκ τῆς γῆς πρὸς τὰ ἄνω χαίρουσα ἔδραμες, καὶ Ἀγγέλων αἱ τάξεις τὴν σὴν Μετάστασιν, ἐμεγάλυνον Ἁγνὴ δορυφοροῦντές σε· νῦν δὲ ἡμεῖς αἶνον θερμόν, ἀναφέρομεν πιστῶς, τῇ δόξῃ σου Θεοτόκε· ὅτι ἡμᾶς διασώζεις, καὶ περισκέπεις πάσης θλίψεως.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Θείαν χάριν δεδεγμένος, οὐρανόθεν Θεόφανες, σεαυτὸν καθάρας, πάσης ὑλικῆς Πάτερ σχέσεως, θαυματουργεῖς τοῖς προστρέχουσι τῇ σκέπῃ σου, λύων πάντοτε, παθῶν ποικίλων ἐπήρειαν.

Ἐν Βερροίᾳ παρεγένου, ἐκ τοῦ Ἄθω Θεόφανες, Πνεύματι Ἁγίῳ, Πάτερ τὰς κινήσεις ποιούμενος, καὶ ἀνεγείρας ναὸν τῇ Θεομήτορι, τύπος γέγονας, τῶν Μοναστῶν τῇ ἀσκήσει σου.

Ἱκεσίαις σου ἐνθέοις, τῆς θαλάσσης τὸν κλύδωνα, ὡς Θεοῦ θεράπων, Πάτερ εἰς γαλήνην μετέβαλες, καὶ τῷ ἱστίῳ τοῦ Πνεύματος πτερούμενος, χαίρων ἔφθασας, ζωῆς πρὸς ὅρμον οὐράνιον.

Θεοτοκίον.

Ὄρος θεῖον ἀνεδείχθης, καὶ δασὺ καὶ κατάσκιον, ὥς φησι Προφήτης, θείῳ ἐλλαμπόμενος Πνεύματι· ἐκ σοῦ γὰρ ὤφθη σαρκὸς ἐν ὁμοιώματι, καὶ διέσωσεν, ἡμᾶς Παρθένε ὁ Κύριος.

Καταβασία. Ῥήσεις Προφητῶν καὶ αἰνίγματα...

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Νοῦν θεῖον κτησάμενος, ταῖς θείαις ἀναβάσεσιν, ὅλος οὐρανόφρων Πάτερ ὤφθης, καὶ Μονὴν θείαν τοῖς Ἀρχαγγέλοις Χριστοῦ, ὡς μονὴ Τριάδος λογική, ἐν Ναούσῃ ἵδρυσας, θεοφόρε Θεόφανες.

Φωστῆρά σε πάμφωτον, ἡ Νάουσα ἐδέξατο, καὶ τῶν ἀρετῶν σου ταῖς ἀκτῖσι, καταυγασθεῖσα Πάτερ Θεόφανες, ὥσπερ θησαυρὸν πλουτοποιόν, κέκτηται τὴν Κάραν σου, χάριν ἄφθονον βλύζουσαν.

Ὡς πῦρ φλέγον ἅπασαν, κακίας ὕλην Ὅσιε, ἡ σοὶ δεδομένη θεία χάρις, ἐκ τῆς Ναούσης ταχέως ἤλασε, τὸν βροτολοιγὸν πάλαι λοιμόν· ὅθεν σου τὴν εὔνοιαν, Ναουσαῖοι κηρύττουσι.

Θεοτοκίον.

Σωτῆρα καὶ Κύριον, μετὰ σαρκὸς κυήσασα, σώζοντα τῆς πάλαι καταδίκης, τὸν Βασιλέα πάσης τῆς κτίσεως, τοὺς ὑμνολογοῦντας εὐσεβῶς, τὸ μέγα μυστήριον, Θεοτόκε τοῦ τόκου σου.

Καταβασία. Τὸ θεῖον καὶ ἄρρητον κάλλος.

ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.

Μέγας ἐδείχθης ἐν θαύμασι, πλουσίως δοξασθεὶς θείῳ Πνεύματι, Πάτερ Θεόφανες· ὅθεν μεγάλων ἑκάστοτε, κινδύνων ἀπαλλάτεις, τοὺς σοὶ προστρέχοντας.

Ὁσίων ὤφθης ἐφάμιλλος, Ἁγίων ἰσοστάσιος Ὅσιε, θαυμάτων ὄργανον, Ἰωαννίνων ἀγλάϊσμα, καὶ ἔφορος Ναούσης, Πάτερ Θεόφανες.

Ἰάσεις βρύουσα Ὅσιε, ἡ Κάρα σου δυνάμει τοῦ Πνεύματος, παύει νοσήματα, καὶ ἀνομβρίαν τῇ πόλει σου, χαλεπωτάτην λύει, τῇ μεσιτείᾳ σου.

Θεοτοκίον.

Δόξης Πατρὸς τὸ ἀπαύγασμα, τεκοῦσα μετὰ σώματος Ἄχραντε, δόξης τῆς κρείττονος, τοὺς γηγενεῖς κατηξίωσας· διὸ δοξολογοῦμεν, τὰ μεγαλεῖά σου.

Καταβασία. Ἅλιον ποντογενές.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τῆς μυστικῆς θεοφανείας θεῖον ὄργανον
τῇ ἰσαγγέλῳ πολιτείᾳ ἐχρηματίσας
Καὶ θαυμάτων ἐδοξάσθης τῇ χορηγίᾳ.
Ἀλλ' ὡς μέγας τοῦ Θεοῦ θεράπων Ἅγιε
Καθικέτευε λυτροῦσθαι πάσης θλίψεως
Τοὺς βοῶντάς σοι, χαίροις Πάτερ Θεόφανες.

Ὁ Οἶκος.

Ἄγγελος ἐν τῷ κόσμῳ, ἀληθῶς ἀνεδείχθης, Θεόφανες βιώσας ὁσίως· καὶ ἀγγελικῆς ἤδη χαρᾶς, μετεσχηκὼς τελέσας τὸν ἀγῶνά σου, ἱκέτευε δεόμεθα, ὑπὲρ τῶν πίστει σοι βοώντων·

Χαῖρε Θεοῦ ὁ θεῖος θεράπων
Χαῖρε φωτὸς ἀΰλου θεάμων
Χαῖρε τῶν Ὁσίων τῶν πάλαι ἰσότιμος
Χαῖρε τῶν Ἁγίων Ἀγγέλων ὁμόσκηνος
Χαῖρε μύστης ἐνθεώτατος ἀναβάσεων σεπτῶν
Χαῖρε τύπος πρακτικώτατος πόνων τῶν ἀσκητικῶν
Χαῖρε Ἰωαννίνων εὐκλεέστατος γόνος
Χαῖρε τῶν Ναουσαίων γαληνότατος ὅρμος
Χαῖρε πιστοῖς παρέχων ἰάματα
Χαῖρε ψυχῶν ἰώμενος τραύματα
Χαῖρε λαμπρὸς πολιοῦχος Ναούσης
Χαῖρε ἡμῶν πρὸς τὸν Κτίστην μεσίτης

Χαίροις Πάτερ Θεόφανες.

Συναξάριον.

Τῇ ιθ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ ἐξ Ἰωαννίνων, τοῦ Θαυματουργοῦ, πολιούχου τῆς πόλεως Ναούσης.

Στίχ. Ὁ Θεοφάνης ἀρεταῖς φάνας πάλαι
Τὴν Νάουσαν νῦν λειψάνῳ ἐκλαμπρύνει.
Θεοφάνης δεκάτῃ ἐνάτῃ ἔνθεν φαίδιμος ἤρθη.

Οὗτος ὁ θεοφόρος πατήρ, ἦν ἀκμάζων τῷ ἕκτῳ καὶ δεκάτῳ αἰῶνι, ἐκ τῆς πολυφήμου τῶν Ἰωαννίνων πόλεως ὁρμώμενος, εὐσεβῶν τοκέων υἱός. Θείῳ τρωθεὶς ζήλῳ ἧκε τῷ Ἁγίῳ τοῦ Ἄθω ὄρει, καὶ ἐγένετο μοναχὸς ἐν τῇ ἐκεῖσε ἱερᾷ τοῦ Δοχειαρίου λεγομένῃ Μονῇ, ἧς καὶ καθηγητὴς καὶ ἡγούμενος, θείῳ Πνεύματι, ὤφθη. Εἶτα παρεγένετο ἐν Βερροίᾳ, ἔνθα μονὴν ἐπ' ὀνόματι τῆς Θεοτόκου Μητρὸς συνεστήσατο, ἐξ ἧς ἐν Ναούσῃ, ἀνεγείρας καὶ ὧδε μονὴν τοῖς Ἀρχαγγέλοις, τύπος τοῖς μονασταῖς, καὶ ἐναρέτου ἀγωγῆς ὑφηγητὴς γεγονώς. Πλήρης δὲ θείου Πνεύματος καταστάς, θαυμάτων πλείστων αὐτουργὸς ἐγένετο· θαλάσσιον γὰρ ὕδωρ εἰς πότιμον μετέβαλε· τρικυμιώδους σφόδρα θαλάσσης τὸν σάλον ἐκόπασε· λεπρῶντα Ἀγαρηνὸν τὸ ἱερὸν αὐτοῦ λείψανον ἰάτρευσε· δαιμονῶντα ἰάσατο· χεῖρα κυλλὴν ἐθεράπευσε· γυναῖκα αἱμορροοῦσαν ὑγιῆ ἀποκατέστησε· λαοφθόρου καὶ βροτολοιγοῦς πανώλους καὶ δεινῆς ἀνομβρίας τὴν πόλιν Ναούσης ἀπήλλαξε· κλέπτην παραλυσίᾳ ἐπαίδευσε, καὶ μεταγνόντα ἰάσατο· καὶ πλείστας ἄλλας δυνάμεις θαυμάτων καὶ ἰαμάτων χάριτας ἐνήργησε. Τὴν ἁγίαν τούτου καὶ θαυματόβρυτον Κάραν ἡ

τῆς Ναούσης πόλις θησαυρίζει, ἧς πολιοῦχος τυγχάνει, καὶ πρὸς Θεὸν πρεσβευτὴς δυνατώτατος.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἰατῆρά σε, εἰδὼς πάσης κακώσεως, Πάτερ Θεόφανες, Ἀγαρηνὸς ὁ λεπρός, προσῆλθε τῇ Κάρᾳ σου, θερμῆς ἐκ πίστεως, καὶ τὴν ἴασιν, ταχέως ἐκομίσατο, μεγαλύνων σου τὴν χάριν.

Διανύσας σου, ἀσκητικῶς Θεόφανες, τὸν βίον ἅπαντα, δόξης μετέσχες Θεοῦ· ἐντεῦθεν ἰάματα, βλυστάνεις ἄφθονα, καὶ τὴν πάσχουσαν, ἐξ αἱμορροίας Ὅσιε, γυναῖκα ἐθεράπευσας.

Ὅλην δέδεξαι, τοῦ Παρακλήτου Ὅσιε, τὴν θείαν ἔλλαμψιν, ὡς καθαρὸς τὴν ψυχήν· διὸ τῇ ἐντεύξει σου, ὕδωρ θαλάσσιον, μετεποίησας, εἰς πότιμον Θεόφανες, δοξασθεὶς παρὰ Κυρίου.

Θεοτοκίον.

Ὑπερύμνητε, Ὑπεραγία Δέσποινα, ἡ σωματώσασα, δι' εὐσπλαγχνίαν πολλήν, τὸν πάντων δεσπόζοντα, αὐτὸν ἱκέτευε, τῶν τοῦ σώματος, παθῶν ἀποκαθᾶραι με, καὶ λαμπρῦναι τὴν ψυχήν μου.

Καταβασία. Ἰταμῷ θυμῷ τε καὶ πυρί.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Γνοὺς τὴν πρὸς Χριστὸν ἀνάλυσίν σου, Θεόφανες ἐξ Ἁγίου Πάτερ Πνεύματος, λόγοις παρακλήσεως, καὶ σοφοῖς διδάγμασι, τοὺς φοιτητὰς ἐστήριξας καὶ ἐνουθέτησας, βαδίζειν σωτηρίας τὴν τρίβον, καὶ χαίρων μετέστης, πρὸς τὰς ἀγήρω λήξεις.

Ἔδραμες πολλῇ ἐν εὐφροσύνῃ, πρὸς δόξαν τὴν ὑπερκόσμιον Θεόφανες, τὸν τῆς σῆς ἀσκήσεως, δρόμον ὡς ἐτέλεσας, καὶ τὸ σεπτόν σου λείψανον σεπτῶς ἐκήδευσαν, εὐσχήμως φοιτητῶν σου τὰ στίφη, ἐξ οὗ ἰαμάτων, πλουσία ἔρρει χάρις.

Ῥώμην καὶ χαρὰν καὶ σωτηρίαν, καρποῦται ἡ τῆς Ναούσης πόλις Ἅγιε, ἐκ τῆς θείας Κάρας σου, ἣν ἐν κόλποις φέρουσα, κηρύττει σου τὰ θαύματα καὶ μεγαλύνει σε, ὡς μέγαν καὶ θερμὸν πολιοῦχον, ῥυόμενον ταύτην, ἐκ πάσης δυσχερείας.

Θεοτοκίον.

Ἅγιος ναὸς Δαβὶδ ὡς ψάλλει, Παρθένε καὶ θαυμαστὸς καὶ περιλάλητος, ὤφθης τοῦ Παντάνακτος, τοῦ ἐκ τῶν αἱμάτων σου, σωματωθέντος Ἄχραντε καὶ κόσμον σώσαντος· διὸ κἀμὲ ναοῦ οὐρανίου, δεῖξον κληρονόμον, θερμῶς καθικετεύω.

Καταβασία. Φλόγα δροσίζουσαν ὁσίους...

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Στέφος εὐπρεπές, καὶ δόξης διάδημα καὶ ζωὴν ἄλυπον, Ὅσιε Θεόφανες, ὡς ἰσαγγέλως πολιτευσάμενος, παρὰ Θεοῦ ἀπείληφας καὶ κατὰ μέθεξιν, ἐθεώθης, πρόσωπον πρὸς πρόσωπον, καθορῶν Πάτερ κάλλος τὸ ἄρρητον.

Ἴσχυσας στερρῶς, ἰσχύϊ σθενούμενος τοῦ θείου Πνεύματος, ἰσχὺν τὴν ὀλέθριον, καταπαλαῖσαι τοῦ κοσμοκράτορος, ἐν ἀσθενείᾳ φύσεως Πάτερ Θεόφανες· διὰ τοῦτο, θαυμαστῶς δοξάζει σε, ὁ Χριστὸς ἐν σημείοις καὶ θαύμασι.

Μέγαν ἀρωγόν, ἡ Νάουσα ἔχει σε καὶ ἀντιλήπτορα, Ἅγιε Θεόφανες· διὸ προστρέχει ἀεὶ τῇ σκέπῃ σου, καὶ τὴν ἁγίαν Κάραν σου προσπτυσσομένη πιστῶς, ἑορτάζει, πανδημεὶ τὴν μνήμην σου, εὐφημοῦσα τοὺς θείους ἀγῶνάς σου.

Ὅλος ἐναγής, ὑπάρχων Θεόφανες τολμήσας ὕμνησα, τὴν ἁγίαν μνήμην σου, ἀλλά μοι Πάτερ ὡς συμπαθέστατος, σύγγνωθι καὶ τὸν ὕμνον μου εὐμενῶς πρόσδεξαι, καὶ πταισμάτων, τῶν πολλῶν μου αἴτησαι, ἐκ Θεοῦ τὴν τελείαν συγχώρησιν.

Θεοτοκίον.

Ὕμνησαν τὴν σήν, ἁγίαν Μετάστασιν Ἀγγέλων τάγματα, Κόρη Παντευλόγητε, δορυφοροῦντα ἀνερχομένην σε, πρὸς δόξαν ὑπερκόσμιον ὡς πάντων ἄνασσαν, καὶ ἡμεῖς δέ, αἶνόν σοι προσφέρομεν, τὴν πολλήν σου αἰτοῦντες βοήθειαν.

Καταβασία. Αἱ γενεαὶ πᾶσαι.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τῆς μυστικῆς Θεόφανες, ἐν τῷ Ὄρει τοῦ Ἄθω, θεοφανείας ἔτυχες, ὡς ὁσίως βιώσας, καὶ λαμπρυνθεὶς τῇ καρδίᾳ, ἐν Βερροίᾳ ἐκλάμπεις, καὶ ἐν Ναούσῃ Ὅσιε, δᾳδουχίαις θαυμάτων θεοπρεπῶν, καὶ ἀκτῖσι Πάτερ ἐνθέων ἔργων· διό σου τὴν ὑπέρτιμον, ἀσπαζόμεθα Κάραν.

Τῆς Ἑορτῆς, ὅμοιον.

Αἶνον Ἁγνὴ μεθέορτον, τῇ σεπτῇ σου Κοιμήσει, χαρμονικῶς προσάδοντες, ἐκβοῶμέν σοι πόθῳ· χαῖρε ἡ Μήτηρ Κυρίου· χαῖρε Πάναγνε Κόρη· χαῖρε ἡ πρὸς οὐράνιον, ἀπὸ γῆς μεταστᾶσα δόξαν λαμπράν, καὶ ἐκεῖθεν πάντας τοὺς σὲ ὑμνοῦντας, ἀπαύστως ἐποπτεύουσα, μητρικῇ συμπαθείᾳ.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ ἱερὲ Θεόφανες, ἀνατεθεὶς τῷ Χριστῷ, τοῖς αὐτοῦ θείοις ἴχνεσι, χαίρων ἠκολούθησας, θεολήπτῳ φρονήματι· καὶ καταλείψας κόσμου τὸν τάραχον, πρὸς τὸν λιμένα τὸν τῆς ἀσκήσεως, πόθῳ προσώρμησας, καὶ τὴν ὑπερκόσμιον, ἐν τῇ ψυχῇ, εὗρες ἀγαλλίασιν, ἀσκήσας ἄριστα.

Πάτερ θεόφρον Θεόφανες, ἐν Ὄρει Ἄθω ἐλθών, πολιτείαν ἰσάγγελον, οὐρανίῳ ἔρωτι, ἀληθῶς πεπολίτευσαι, καὶ Μοναζόντων τύπος γενόμενος, χαρίτων θείων ὤφθης ἀνάπλεως· ὢ τῶν θαυμάτων σου! δι ὧν πᾶσιν Ἅγιε, δίδως ἀεί, ἴασιν καὶ λύτρωσιν, τοῖς προσιοῦσί σοι.

Ὅσιε Πάτερ Θεόφανες, θαυματουργῶν ἱερῶς, Παρακλήτου τῇ χάριτι, νόσους πλείστας ἤλασας, καὶ ὑγείαν ἐβράβευσας· ὅθεν Ναούσης ἡ πόλις Ἅγιε, τὴν σὴν ἁγίαν Κάραν πλουτήσασα, θεῖον σε κέκτηται, ἀρωγὸν βοῶσά σοι· Σκέπε ἀεί, Πάτερ ταῖς πρεσβείαις σου, τόνδε τὸν κλῆρόν σου.

Ὅσιε Πάτερ Θεόφανες, Ἰωαννίνων βλαστός, θεοπόθητος πέφηνας, Ὄρους Ἄθω καύχημα, Μοναστῶν ἐγκαλλώπισμα,

Βερροίας κλέος Ναούσης καύχημα, καὶ πολιοῦχος ταύτης περίδοξος· ὅθεν τὴν μνήμην σου, τὴν σεπτὴν γεραίροντες πρὸς τὸν Χριστόν, πρέσβυν σε θερμότατον, νῦν προβαλλόμεθα.

Δόξα... Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, ἀγάπῃ θείᾳ τρωθείς, ἀγγελικὸν ἐπεδείξω βίον, σαὐτὸν ἀπαρνησάμενος· τῶν γὰρ πάλαι Ὁσίων, τὴν ἀρετὴν ἀπεμάξω, καὶ τῶν κατ' ἐκείνους δωρεῶν, ἐταμιεύσω τὸν πλοῦτον, ἴσος αὐτοῖς γενόμενος. Ὅθεν Ἰωαννίνων ἡ πόλις, τοῖς σπαργάνοις σου καυχᾶται, καὶ ἡ Νάουσα χαίρει, ἁγιαζομένη τῇ ἁγίᾳ Κάρᾳ σου· αἷς δίδου οὐρανόθεν, τῶν πρεσβειῶν σου τὰς χάριτας, Θεόφανες μακάριε, Ἀγγέλων συνόμιλε.

Καὶ νῦν... Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Ἄσατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ἄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς ἄνευ σπορᾶς σαρκωθέντος, παρατίθησιν· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ, εἰρήνην καὶ μέγα ἔλεος.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.





## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ´ καὶ στ´ Ὠδή. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Ἀντωνίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Τῶν Ἰωαννίνων θεῖος βλαστός, καὶ Ναούσης μέγας, πολιοῦχος καὶ ἀρωγός, καὶ πηγὴ θαυμάτων, Θεόφανες ἐδείχθης· διό σου τὴν ἁγίαν Κάραν σεβόμεθα.

Δίστιχον.

Θεῷ με ἄγε ὦ Θεόφανες Πάτερ
Γεράσιμον μέλποντα τὰς ἀρετάς σου.



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## Εἰς τὸν Ὅσιον καὶ Θεοφόρον Πατέρα ἡμῶν

## ΘΕΟΦΑΝΗΝ

## τὸν Θαυματουργόν, πολιοῦχον Ναούσης.

ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὰ ἑξῆς.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τοῦ Σωτῆρος θεοφόρος θεράπων, καὶ κοινωνὸς τῶν θεϊκῶν χαρισμάτων, καὶ τῶν Ὁσίων πάντων ἰσοστάσιος, Ὅσιε Θεόφανες, ἀρωγὸς καὶ προστάτης, φάνηθι τοῖς δούλοις σου, τοῖς πιστῶς σε τιμῶσι, καὶ τῇ σῇ πόλει δίδου δαψιλῶς, τῆς εὐλογίας, τῆς σῆς τὰ δωρήματα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ **Ν'** καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς·

«Ἡ Θεοφάνους χάρις με σώζοις. Γερασίμου».

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ἡλίου τῆς δόξης ταῖς ἀστραπαῖς, Θεόφανες Πάτερ, λαμπρυνόμενος νοητῶς, λῦσον τῶν παθῶν μου τὴν ὁμίχλην, τῇ φωταυγεῖ προστασίᾳ σου Ὅσιε.

Θαυμάτων πηγάζουσα δωρεάν, ἡ θεία σου κάρα, θεραπεύει πάθη δεινά· διὸ τῆς ζωῆς μου τὰς ὀδύνας, ἴασαι Πάτερ Θεόφανες δέομαι.

Ἐν σοὶ καυχωμένη ὡς ἀληθῶς, Ναούσης ἡ πόλις, ἐκλυτροῦται πάσης ὀργῆς, τῇ σῇ ἀντιλήψει θεοφόρε, καὶ ἀνυμνεῖ σου θαυμάτων τὰς χάριτας.

Θεοτοκίον.

Ὁ ἄναρχος Λόγος ὁ τοῦ Θεοῦ, ἐκ σοῦ σωματοῦται, καὶ ἐν χρόνῳ ὤφθη ἐν γῇ, τὰ χρόνια πάθη ἐξοικίζων, ἐκ τῶν ψυχῶν ἡμῶν Κόρη δι' ἔλεος.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Φωταυγὲς νέον ἄστρον, ὡς ἀληθῶς πέφηνας, Ὅσιε Θεόφανες Πάτερ, βίου λαμπρότητι· ὅθεν ἀπέλασον, τῶν πρεσβειῶν σου τῷ φέγγει, πειρασμῶν καὶ θλίψεων, σκότος ἐπώδυνον.

Ἀπὸ πάσης ἀνάγκης, καὶ συνοχῆς λύτρωσαι, τοὺς εἰλικρινῶς προσιόντας, τῇ θείᾳ κάρᾳ σου, Πάτερ Θεόφανες, καὶ τὴν τιμῶσάν σε πόλιν, ἀσινῆ διάσῳζε, πάσης στενώσεως.

Νᾶμα ἄϋλον θεῖον, ζωοποιὸν Ὅσιε, βλῦσον τῇ θερμῇ σου πρεσβείᾳ, ἡμῖν Θεόφανες, καὶ τὴν φλογίζουσαν, σβέσον πικρὰν ἁμαρτίαν, τὴν καταναλίσκουσαν, ἡμᾶς ἑκάστοτε.

Θεοτοκίον.

Ὄρος ἅγιον θεῖον, καὶ ἐμφανὲς πέφηνας, ὡς οἱ θεηγόροι Προφῆται, σὲ προεκήρυξαν· διὸ πλανώμενον, πρὸς ἀπωλείας με ὄρη, ἕλκυσον καὶ σῶσόν με, μόνη Πανύμνητε.

Διάσωσον ἐκ πάσης βλάβης Θεόφανες θεοφόρε, τοὺς ἐν πίστει τῇ προστασίᾳ σου σπεύδοντας, ὡς παρρησίαν πρὸς Κύριον κεκτημένος.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ...

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Προστάτην θερμόν, καὶ πολιοῦχον ἔνθεον, ἡ πόλις σοφέ, Ναούσης κεκτημένη σε, κραυγάζει σοι Θεόφανες· Ἀπὸ πάσης ἀνάγκης ἀπάλλαξον, καὶ τῶν ἐν βίῳ δεινῶν συμφορῶν, τοὺς σπεύδοντας Πάτερ τῇ σῇ χάριτι.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὑπελθὼν τῆς ἀσκήσεως, Ὅσιε Θεόφανες τὰ παλαίσματα, ἐναρέτως πολιτεύεσθαι, ἡμᾶς ἐνδυνάμωσον δεόμεθα.

Σὲ προστάτην καὶ ἔφορον, Ναουσαῖοι ἔχοντες καταφεύγουσι, πάσῃ ὥρᾳ τῇ πρεσβείᾳ σου, καὶ λυτροῦνται πάσης περιστάσεως.

Χάριν ἄφθονον βλύζουσα, ἡ ἁγία κάρα σου ὦ Θεόφανες, ἁγιάζει τὰς ψυχὰς ἡμῶν, καὶ ἴαται πάθη τὰ ἀνίατα.

Θεοτοκίον.

Ἁγνὸν τήρει με Πάναγνε, νῷ ψυχῇ καρδίᾳ καὶ ταῖς αἰσθήσεσι, καὶ μακρὰν ἀπ' ἐμοῦ δίωξον, τὸν πρὸς τὴν ἀπώλειαν ὠθοῦντά με.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ῥύπων ψυχικῶν, ἡμᾶς κάθαρον Θεόφανες, ἐπομβρίαις τῶν θερμῶν σου πρεσβειῶν, καὶ ὀδύνας τὰς τοῦ σώματος θεράπευσον.

Ἴδε συμπαθῶς, τοὺς προσπίπτοντας τῇ κάρᾳ σου, καὶ ἐκπλήρου τὰ αἰτήματα ἡμῶν, θαυματόβρυτε Θεόφανες μακάριε.

Σκεῦος ἐκλεκτόν, γεγονὼς τοῦ θείου Πνεύματος, ἐκ τῆς χάριτος μετάδος τῆς αὐτοῦ, ταῖς ψυχαῖς ἡμῶν δεόμεθα Θεόφανες.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ, Θεοτόκε Ἀειπάρθενε, τὴν ῥυπῶσάν μου ἐκκάθαρον ψυχήν, καὶ τὸν νοῦν μου μετανοίᾳ περιτείχισον.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Ἐδέξω, θαυμάτων χάριν πλουσίαν, χορηγίᾳ τῇ τοῦ Πνεύματος Πάτερ· ἔνθεν δαιμόνων ἐλαύνεις τὴν ρύμην, καὶ τοῖς αἰτοῦσι παρέχεις ἑκάστοτε, Θεόφανες θαυματουργέ, τὴν θερμήν σου ἐν πᾶσι βοήθειαν.

Στροβεῖ με, ἀλλεπαλλήλων πνευμάτων, τρικυμία διὰ πλῆθος πταισμάτων, ἀλλ' ὡς λιμένι τῇ σῇ προστασίᾳ, πίστει προστρέχων βοῶ σοι Θεόφανες· Ἱλέωσαί μοι τὸν Κριτήν, καὶ πταισμάτων μοι αἴτει συγχώρησιν.

Ὡς θεῖόν σε, πολιοῦχον γεραίρει, καὶ βοᾷ σοι τῆς Ναούσης ἡ πόλις· Ἐκ δυσχερείας καὶ πάσης ἀνάγκης, τὸν σὸν λαὸν διαφύλαττε ἄτρωτον, Θεόφανες θαυματουργέ, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς Κύριον.

Θεοτοκίον.

Ζωῆς με, τῆς ἀθανάτου καὶ θείας, ἡ τεκοῦσα τὸν ἀθάνατον Λόγον, τὸν ἀρχηγὸν τῆς ζωῆς Θεοτόκε, συγκληρονόμον ἀπέργασαι δέομαι, ἀπὸ θανάτου χαλεποῦ, ἁμαρτίας Ἁγνὴ ρυομένη με.

Διάσωσον ἐκ πάσης βλάβης Θεόφανες θεοφόρε, τοὺς ἐν πίστει τῇ προστασίᾳ σου σπεύδοντας, ὡς παρρησίαν πρὸς Κύριον κεκτημένος.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον...

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Θεοφανείας φωτὸς ὑπὲρ ἔννοιαν, τῆς μυστικῆς ἠξιώθης Θεόφανες· διὸ φωτισμῷ τῆς σῆς χάριτος, τὸν σκοτασμὸν τῶν παθῶν ἡμῶν σκέδασον, αἰτούμενος πᾶσι τὰ κρείττονα.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πα-

τήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ἔργοις τῆς ἀσκήσεως, καὶ καθαρᾶς πολιτείας, Ὅσιε Θεόφανες, τὸν Χριστὸν ἐδόξασας θείῳ ἔρωτι, καὶ λαμπρᾶς ἔτυχες, παρ' αὐτοῦ εὐκλείας· ὃν ἱκέτευε δεόμεθα, πάσης κακώσεως, καὶ ὀδυνηρῶν περιστάσεων, καὶ νόσων τε καὶ θλίψεων, ῥύεσθαι ἡμᾶς τοὺς τιμῶντάς σε, καὶ διδόναι πᾶσι, τὴν λύσιν τῶν πολλῶν ἁμαρτιῶν, καὶ εὐφροσύνην τὴν κρείττονα, τοῖς ἐν λύπαις στένουσι.

Ὁ Ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὄμβρους πάλαι ὑψόθεν, ὡς κατήγαγε Πάτερ ἡ θεία κάρα σου, οὕτω καὶ νῦν ἐξ ὕψους, μὴ παύσῃ ὑετίζων, θεοφόρε Θεόφανες, τῆς προστασίας τῆς σῆς, ἡμῖν τὴν ἐπομβρίαν.

Ἰατρείαν ὡς εὗρεν, ὁ ἀπόγονος Ἄγαρ ἐκ τῶν λειψάνων σου, οὕτω τὴν θεραπείαν, παθῶν τῶν πολυτρόπων, οἱ τιμῶντές σε εὕροιμεν, διὰ τῆς σῆς ἀρωγῆς, Θεόφανες παμμάκαρ.

Συσχεθεὶς ἀπορίᾳ, ὁ λαὸς τῆς Ναούσης ἐξ ἐπελθούσης ποτέ, πανώλους λαοφθόρου, εὕρατο σωτηρίαν, τῇ ὀξείᾳ πρεσβείᾳ σου· ὅθεν εὐσήμως τὴν σήν, Πάτερ κηρύττει χάριν.

Θεοτοκίον.

Γαλουχήσασα Κόρη, τὸν ἐκτρέφοντα πάντα τῷ αὐτοῦ ῥήματι, διάθρεψον τὸν νοῦν μου, πεινῶντά σου τὴν χάριν, καὶ μακρὰν ἀποδίωξον, τὸν πολεμοῦντα ἀεί, ὑπούλως τὴν ψυχήν μου.

'Ωδὴ η'. Τὸν Βασιλέα.

Ἐπιληψίας, ὡς τὴν γυναῖκα ἐρρύσω, οὕτω λύτρωσαι τῆς τοῦ ἐχθροῦ μανίας, τοὺς σὲ εὐφημοῦντας, Θεόφανες τρισμάκαρ.

Ρῶσιν σωμάτων, ρῶσιν ψυχῶν Πάτερ δίδου, τοῖς προστρέχουσι τῇ θαυμαστῇ σου κάρᾳ, καὶ τῶν ἐν τῷ βίῳ, δυσχερειῶν τὴν λύσιν.

Αἱμορραγίας, γυνὴ τὴν ἴασιν εὗρεν, ὡς προσέδραμε τοῖς θείοις σου λειψάνοις· ὅθεν καὶ ἀνύμνει, τὴν χάριν σου θεόφρον.

Θεοτοκίον.

Σῶσόν με Κόρη, τῇ σωστικῇ σου δυνάμει, τῆς τοῦ δράκοντος πανωλεθρίου πλάνης, καὶ πρὸς σωτηρίας, κατεύθυνόν με τρίβον.

'Ωδὴ θ'. Κυρίως Θεοτόκον.

Ἰάτρευσον τὸ ἄλγος, Πάτερ τῆς ψυχῆς μου, καὶ ραθυμοῦντα τὸν νοῦν μου διέγειρον, πρὸς ἀληθοῦς μετανοίας, γνῶσιν Θεόφανες.

Μὴ παύσῃ προστατεύων, Πάτερ τῆς Ναούσης, τῆς πολιοῦχον καὶ θετόν σε ἔφορον, καταπλουτούσης Θεόφανες παμμακάριστε.

Οἱ πίστει ἀφορῶντες, πρὸς τὴν σὴν πρεσβείαν, πάσης ἀνάγκης καὶ βλάβης ρυσθείημεν, καὶ θεϊκῆς εὐλογίας τύχοιμεν Ὅσιε.

Θεοτοκίον.

Ὑμνοῦμέν σου τὸν τόκον, Κεχαριτωμένη, δι' οὗ φθορᾶς καὶ θανάτου ἐρρύσθημεν· τὸν ἀρχηγὸν τῆς ζωῆς γὰρ κόσμῳ ἐκύησας.

Τὸ Ἄξιόν ἐστι... καὶ τὰ Μεγαλυνάρια.

Τῶν Ἰωαννίνων θεῖος βλαστός, καὶ Ναούσης μέγας, ἀντιλήπτωρ καὶ ἀρωγός, Θεόφανες πέλεις, ἀγγελικῶς βιώσας, καὶ νέμεις τοῖς αἰτοῦσι, χάριν σωτήριον.

Χαίροις ἐναρέτου ζωῆς κανών, καὶ τῆς ἀπαθείας, ὁ πολύτιμος θησαυρός· χαίροις τῶν Ὁσίων, ἰσότιμος ἐν δόξῃ, Θεόφανες παμμάκαρ, ἡμῶν ἀντίληψις.

Ἔζησας ὡς ἄγγελος ἐπὶ γῆς, καὶ παρὰ Κυρίου, ἐδοξάσθης ἐν οὐρανοῖς· ὅθεν καὶ θαυμάτων, τὴν χάριν δεδεγμένος, Θεόφανες πηγάζεις, χάριν ἰάσεων.

Χαίροις τῆς Ναούσης ὁ ἀρωγός, καὶ θεῖος προστάτης, καὶ μεσίτης πρὸς τὸν Χριστόν· χαίροις θεοφόρε, Θεόφανες θεόφρον, Ἀγγέλων συμπολῖτα καὶ ἰσοστάσιε.

Ὥσπερ ἰατρεῖον πνευματικόν, τὴν σεπτήν σου κάραν, κεκτημένοι οἱ εὐσεβεῖς, ἴασιν καὶ χάριν, καὶ θείαν εὐφροσύνην, λαμβάνουσιν ἐκ ταύτης, Πάτερ Θεόφανες.

Πρέσβευε ἀπαύστως πρὸς τὸν Χριστόν, Θεόφανες Πάτερ, ὑπὲρ πάντων τῶν εὐσεβῶν, ὡς ἂν πάσης βλάβης, ῥυώμεθα καὶ νόσου, οἱ πίστει προσιόντες, τῇ προστασίᾳ σου.

Πᾶσαι τῶν Ἀγγέλων...

Τὸ Τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τοὺς προστρέχοντας πιστῶς, Ὅσιε Θεόφανες Πάτερ, τῇ ἀντιλήψει σου, ῥῦσαι πάσης θλίψεως, καὶ περιστάσεως, καὶ κινδύνων τὸν τάραχον, κόπασον λιταῖς σου, ὡς θεράπων γνήσιος, τοῦ Παντοκράτορος, δίδου δὲ εἰρήνην ὑψόθεν, καὶ πταισμάτων ἄφεσιν αἴτει, τοῖς εἰλικρινῶς σε μακαρίζουσι.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

Δίστιχον.

Θεόφανες φάνηθι θερμὸς προστάτης
Γερασίμῳ σπεύδοντι τῇ ἀρωγῇ σου.

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

## Εἰς τὸν Ὅσιον καὶ Θεοφόρον Πατέρα ἡμῶν

# ΘΕΟΦΑΝΗΝ

## τὸν θαυματουργόν, πολιοῦχον πόλεως Ναούσης.

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῆς μυστικῆς θεοφανείας θεῖον ὄργανον
Τῇ ἰσαγγέλῳ πολιτείᾳ ἐχρημάτισας
Καὶ θαυμάτων ἐδοξάσθης τῇ χορηγίᾳ.
Ἀλλ' ὡς μέγας τοῦ Θεοῦ θεράπων Ἅγιε
Καθικέτευε λυτροῦσθαι πάσης θλίψεως
Τοὺς βοῶντάς σοι, χαίροις Πάτερ Θεόφανες.

Ἄγγελος ἐν ἀσκήσει, ἀληθῶς ἀνεδείχθης, Θεόφανες Ὁσίων προσθήκη, (ἐκ γ΄) καὶ θεοφανείας μυστικῆς, φερωνύμως εἰσεδέξω τὴν ἔλλαμψιν· διό σου τὴν λαμπρότητα, ἀγάμενοι πιστῶς βοῶμεν·

Χαῖρε δι' οὗ τὰ πάθη νεκροῦνται
Χαῖρε δι' οὗ πιστοὶ φωταυγοῦνται
Χαῖρε τῆς ἀΰλου ζωῆς τὸ θησαύρισμα
Χαῖρε τῆς ἐν ὕλῃ ἀπάτης κατάπτωμα
Χαῖρε ὕψος τῆς ἀσκήσεως δι' ἀγώνων εὐαγῶν
Χαῖρε βάθος τῆς φρονήσεως καὶ ἐνθέων ἐννοιῶν
Χαῖρε ὅτι Κυρίῳ ἐκ παιδὸς ἀνετέθης
Χαῖρε τοῦ κόσμου τῆς ἀπάτης ἀπέστης
Χαῖρε Θεοῦ θεράπων θερμότατος
Χαῖρε χοροῦ Ὁσίων ὁμόσκηνος

Χαῖρε δι' οὗ ὁ Χριστὸς ἐδοξάσθη
Χαῖρε δι' οὗ ὁ ἐχθρὸς ἀπηλάθη

Χαίροις Πάτερ Θεόφανες.

Βίον ἔνθεον ἔχων, ἐκ νεότητος Πάτερ, ὡς γόνος ἐναρέτων γονέων, προείλου τοῖς ἴχνεσι Χριστοῦ, ἀκολουθῆσαι Θεόφανες Ὅσιε· ἐντεῦθεν θείῳ ἔρωτι, τετρωμένος πιστῶς ἐβόας·

Ἀλληλούϊα.

Γνώμῃ θεολήπτῳ, καὶ καρδίᾳ προθύμῳ, προσῆλθες ἐν τῷ Ὄρει τοῦ Ἄθω, καὶ πρὸς ὄρη Πάτερ νοητά, κατὰ Δαβὶδ ἀνυψώθης τῷ πνεύματι, φωτὶ θείῳ λαμπόμενος, καὶ πυρσεύων τούς σοι βοῶντας·

Χαῖρε Θεὸν θερμῶς ἀγαπήσας
Χαῖρε φθαρτῶν τὴν σχέσιν μισήσας
Χαῖρε τῶν Ὁσίων ζηλώσας τὴν ἄσκησιν
Χαῖρε τῶν δαιμόνων πατήσας τὴν ἔπαρσιν
Χαῖρε ἄνθραξ θείου ἔρωτος ἐκτεφρῶν τὰς ἡδονὰς
Χαῖρε νοῦς ὁ λύων πάντοτε τοῦ Βελίαρ τὰς βουλὰς
Χαῖρε ὅτι προθύμως ἐν τῷ Ἄθῳ προσῆλθες
Χαῖρε ὅτι τοὺς πόνους τῶν Ὁσίων ὑπῆλθες
Χαῖρε τρυφῆς ρεούσης ὑπέρτερε
Χαῖρε ζωῆς ἀφθάρτου συμμέτοχε
Χαῖρε παθῶν κατευνάσας τὴν ζάλην
Χαῖρε Θεοῦ θησαυρίσας τὴν χάριν

Χαίροις Πάτερ Θεόφανες.

Δόξης ἐπουρανίου, ἐραστὴς ἀνεδείχθης, λιπὼν τὰ ἐν τῷ κόσμῳ ἡδέα, καὶ τὸν Σταυρὸν ἄρας τοῦ Χριστοῦ, ἐπαξίως τῷ καλοῦντι βεβίωκας, Θεόφανες μακάριε, τῷ Θεῷ ἐνθέως προσάδων·

Ἀλληλούϊα.

Ἔλαμψας ἐν τῷ Ἄθῳ, ἀρετῶν τῇ ἀσκήσει, ὡς λύχνος φαεινὸς ἐγκρατείας, καὶ Δοχειαρίου τῆς Μονῆς, ἐπαξίως προέστης θείῳ Πνεύματι, πρὸς βίου τελειότητα, κατευθύνων τούς σοι βοῶντας·

Χαῖρε ἡ δέλτος ὁσίων πόνων
Χαῖρε ἡ βίβλος ἁγίων λόγων

Χαῖρε ἐγκρατείας τὸ θεῖον κειμήλιον
Χαῖρε ἀπαθείας εὐῶδες ἀλάβαστρον
Χαῖρε κῆπος εὐωδέστατος ἀρετῶν ἀσκητικῶν
Χαῖρε πλοῦτος πολυτίμητος δωρεῶν πνευματικῶν
Χαῖρε ὅτι ἐπλήσθης φωτισμοῦ οὐρανίου
Χαῖρε ὅτι καθεῖλες τὴν ἰσχὺν τοῦ δολίου
Χαῖρε φωτὸς τὰ ὅπλα ἀράμενος
Χαῖρε Σατὰν τὸ κράτος τρεψάμενος
Χαῖρε χοροῦ Μοναστῶν ποδηγέτης
Χαῖρε Μονῆς Δοχειαρίου ἡγέτης

Χαίροις Πάτερ Θεόφανες.

Ζηλωτὴς ἐναρέτων, πράξεων δεδειγμένος, ὡς μύστης πρακτικῆς πολιτείας, τοὺς σοὺς ἐκπαιδεύεις φοιτητάς, τὰ ἄνω ποθεῖν καὶ φρονεῖν Θεόφανες, μεθ' ὧν ἐν βίῳ κρείττονι, τῷ ἀρχιποιμένι ἐβόας·

'Αλληλούϊα.

Ἤρθης πρὸς ἀπαθείας, τὴν ἀκρώρειαν Πάτερ, λιπὼν τὰς ἐπιγείους ὀρέξεις, καὶ καταυγασθεὶς θείῳ φωτί, τῶν Μοναζόντων φωστὴρ ἐχρημάτισας· Χριστῷ γὰρ καθωδήγησας, ὁσίως τοὺς πόθῳ βοῶντας·

Χαῖρε ὁ λύχνος τῆς ἐγκρατείας
Χαῖρε ἡ στήλη τῆς ἀπαθείας
Χαῖρε Μοναζόντων λαμπρὰ ὑποτύπωσις
Χαῖρε ἀσθενούντων θεόσδοτος ἴασις
Χαῖρε οἶκος τῆς πραότητος καὶ χαρίτων θησαυρὸς
Χαῖρε τύπος θείων πράξεων καὶ σοφὸς μυσταγωγὸς
Χαῖρε θεοφανείας μυστικῆς ὁ θεάμων
Χαῖρε πρακτικωτάτης πολιτείας ἐκφάντωρ
Χαῖρε ψυχῆς λαμπρύνας τὴν δύναμιν
Χαῖρε ἐχθροῦ νεκρώσας τὴν ἔνστασιν
Χαῖρε νοῒ θεατὴς ἀπορρήτων
Χαῖρε παθῶν λυτρωτὴς ἐπωδύνων

Χαίροις Πάτερ Θεόφανες.

Θείῳ Πνεύματι Πάτερ, ὁδηγούμενος ἧκες, Θεόφανες εἰς πόλιν Βερροίας, καὶ σκήτῃ Βαπτιστοῦ τῇ σεπτῇ, κατασκηνώσας ζωὴν τὴν ἰσάγγελον, ἐν ταύτῃ πεπολίτευσαι, σὺν πληθύϊ Μοναστῶν ψάλλων·

'Αλληλούϊα.

Ἱδρῶσιν ἐγκρατείας, παθῶν σβέσας τὴν φλόγα, τὸ φῶς τοῦ Παρακλήτου ἐδέξω, καὶ ναὸν ἱδρύεις ἱερόν, τῇ Παναχράντῳ Παρθένῳ Θεόφανες· διό σε μακαρίζοντες, ἀναβοῶμέν σοι τοιαῦτα·

Χαῖρε φωτὸς ἀΰλου δοχεῖον
Χαῖρε ὁ γόνος 'Ιωαννίνων
Χαῖρε Παρακλήτου τὸ ἔμψυχον σκήνωμα
Χαῖρε τοῦ μονήρους βίου τὸ ἴνδαλμα
Χαῖρε ὅτι παραγέγονας ἐν Βερροίᾳ τῇ κλεινῇ
Χαῖρε ὅτι ναὸν ἤγειρας τοῦ Σωτῆρος τῇ Μητρὶ
Χαῖρε ὁ τοῦ Προδρόμου ἐν τῇ Σκήτῃ σκηνώσας
Χαῖρε ὁ τὴν 'Αγγέλων πολιτείαν ζηλώσας
Χαῖρε ζωῆς ἁγίας ἐκτύπωμα
Χαῖρε σεπτῶν καμάτων γεώργημα
Χαῖρε πολλοὺς φοιτητὰς συναθροίσας
Χαῖρε ἐχθροῦ τὰς ὁρμὰς ἐκνευρίσας

Χαίροις Πάτερ Θεόφανες.

Καθελὼν τὴν μανίαν, τοῦ δολίου Βελίαρ, Θεόφανες τῇ σῇ καρτερίᾳ, στεφάνῳ ἐκοσμήθης ζωῆς, καὶ 'Ασωμάτων χορείαις ἠρίθμησαι, μεθ' ὧν Χριστὸν ἱκέτευε, ὑπὲρ ἡμῶν τῶν ἐκβοώντων·

'Αλληλούϊα.

Λάμψας ἐν τῇ Ναούσῃ, ὡς ἀστὴρ ὑπερλάμπων, τῇ αἴγλῃ τῶν ὁσίων καμάτων, Μονὴν ἐγείρεις περιφανῆ, τοῖς τοῦ Χριστοῦ 'Αρχαγγέλοις Θεόφανες, ἐν ᾗ οἱ προσερχόμενοι, ὡς ποιμένι σοι ἀνεβόων·

Χαῖρε ἀστὴρ ὁσίων ἀγώνων
Χαῖρε πριστὴρ μανίας δαιμόνων
Χαῖρε Μοναστῶν ὁδηγὲ ἐνθεώτατε
Χαῖρε 'Ασκητῶν ὑποφῆτα θεόληπτε

Χαῖρε φοίνιξ ὁ κατάκαρπος ἐναρέτου ἀγωγῆς
Χαῖρε θεῖον ἐνδιαίτημα τῆς τοῦ Πνεύματος αὐγῆς
Χαῖρε ὅτι ἐπέστης ἐν Ναούσῃ τῇ πόλει
Χαῖρε ὅτι ἰθύνεις πρὸς ἀείζωον χλόην
Χαῖρε λαμπτὴρ ὁσίας ἀσκήσεως
Χαῖρε κρατὴρ ἁγίας φρονήσεως
Χαῖρε κανὼν ἀπλανὴς Μοναζόντων
Χαῖρε πιστῶν ἀρωγὲ τῶν βοώντων

Χαίροις Πάτερ Θεόφανες.

Μέγας ἐν τῇ Βερροίᾳ, καὶ Ναούσῃ ἐδείχθης, Θεόφανες ὡς φίλος Κυρίου, ἐν ἔργοις καὶ θαύμασι πολλοῖς, καὶ Ὀρθοδόξων παιδεύεις τὸ πλήρωμα, ἀφορᾶν πρὸς τὰ κρείττονα, καὶ ἐν βίῳ σεμνῷ κραυγάζειν·

Ἀλληλούϊα.

Νέος ἐν τοῖς Ὁσίοις, ἀσκητὴς ἀνεδείχθης, βιώσας ὥσπερ ἄγγελος Πάτερ, καὶ τῶν πάλαι Ὁσίων τὴν ζωήν, χαρακτηρίσας ἀξίως δεδόξασαι· διὸ ἐξ ἀδοξίας με, παθῶν λύτρωσαι βοῶντα·

Χαῖρε ὁ νέος ἐν τοῖς Ὁσίοις
Χαῖρε ὁ μέγας ἐν θαυμασίοις
Χαῖρε τῆς Ναούσης λαμπρὸν ἐγκαλλώπισμα
Χαῖρε τῆς Ἠπείρου περίβλεπτον καύχημα
Χαῖρε θείων ἀναβάσεων θεοφόρος ὁδηγὸς
Χαῖρε πλήρης θείας χάριτος καὶ θαυμάτων θησαυρὸς
Χαῖρε ὅτι θαλάσσης κατευνάζεις τὸν σάλον
Χαῖρε ὅτι ἐκτρέπεις ἅπαν νόημα φαῦλον
Χαῖρε κλεινῶν Ὁσίων ὁμότροπος
Χαῖρε σεπτῶν Πατέρων ἰσότιμος
Χαῖρε λειμὼν ἀρετῶν οὐρανίων
Χαῖρε πολλοὺς ἁφαρπάζων κινδύνων

Χαίροις Πάτερ Θεόφανες.

Ξένος ὤφθης ἐν κόσμῳ, τῶν φθαρτῶν καὶ ῥεόντων, ἁπάντων ξενωθεὶς θεοφρόνως, καὶ τῷ ξένῳ σου βίῳ σοφέ, τῷ δι' ἡμᾶς

ξενωθέντι δι' ἔλεος, Θεόφανες ᾠκείωσαι, ᾧ προσάγοις τοὺς ἐκβοῶντας·

'Αλληλούϊα.

Ὅλος ἔνθους μετέστης, πρὸς ζωὴν τὴν ἀγήρω, τελέσας σου τὸν δρόμον ὁσίως, καὶ συνήφθης 'Αγγέλων χοροῖς, ὡς ἰσάγγελος ἐν βίῳ Θεόφανες, μεθ' ὧν Χριστὸν ἱκέτευε, ὑπὲρ τῶν πίστει σοι βοώντων·

Χαῖρε 'Αγγέλων ὁ συμπολίτης
Χαῖρε ὁ ὅσιος στεφανίτης
Χαῖρε ὁ τελέσας ὁσίως τὸν δρόμον σου
Χαῖρε ὁ ἐκλάμψας ἀμέμπτως τοῖς τρόποις σου
Χαῖρε θαύμασι πιστούμενος τὴν ἁγίαν σου ζωὴν
Χαῖρε ἅπασι δωρούμενος τὴν θερμήν σου ἀρωγὴν
Χαῖρε ὅτι δυνάμεις ἐνεργεῖς ἰαμάτων
Χαῖρε ὅτι παρέχεις δωρεὰς χαρισμάτων
Χαῖρε εἰκὼν ἀγάπης θεότυπος
Χαῖρε μορφὴ ὁσία θεόμορφος
Χαῖρε χοροῦ Μοναζόντων ἀλεῖπτα
Χαῖρε ἡμῶν πρὸς τὸν Κτίστην μεσῖτα

Χαίροις Πάτερ Θεόφανες.

Πλήρης χάριτος θείας, κάρα σου ἡ τιμία, ὁρᾶται ἐν τῇ πόλει Ναούσης, καὶ θαυμάτων βλύζει δωρεάς, τοῖς εὐλαβῶς προσιοῦσι Θεόφανες· πληροῖ γὰρ τὰ αἰτήματα, τῶν σὲ δοξάσαντι βοώντων·

'Αλληλούϊα.

Ῥήσεσι πατρικαῖς σου, νουθετῶν καὶ στηρίζων, πανσόφως φοιτητῶν σου τὸ στῖφος, προείρηκας αὐτοῖς ἐμφανῶς, τὴν πρὸς Χριστὸν ἁγίαν σου ἀνάλυσιν, οἱ δὲ θερμοῖς ἐν δάκρυσιν, ἐβόων σοι Πάτερ τοιαῦτα·

Χαῖρε Μονῶν ἁγίων δομήτωρ
Χαῖρε πιστῶν θερμὸς ἀντιλήπτωρ
Χαῖρε φοιτητῶν σου ὁ θεῖος διδάσκαλος
Χαῖρε Ναουσαίων ὁ μέγας διάκοσμος
Χαῖρε σκήνωμα πολύτιμον ἐπιπνοίας θεϊκῆς

Χαῖρε στήριγμα νεόδμητον Ἐκκλησίας τῆς σεπτῆς
Χαῖρε ὅτι μετέστης πρὸς Θεὸν μετὰ δόξης
Χαῖρε ὅτι πᾶν φάσμα τοῦ δολίου διώκεις
Χαῖρε Χριστοῦ ὁρῶν τὴν λαμπρότητα
Χαῖρε παθῶν σοβῶν ἀμαυρότητα
Χαῖρε λαμπὰς θεϊκῆς συμπαθείας
Χαῖρε μολπὴ τῆς ἡμῶν συμφωνίας
Χαίροις Πάτερ Θεόφανες.

Σοῦ τὴν χάριν κηρύττει, ἰαθεὶς ἐκ τῆς λέπρας, ἀπόγονος τῆς Ἄγαρ παμμάκαρ, νίψας τὸ σῶμα πίστει θερμῇ, τῷ ἡγιασμένῳ ὕδατι Ὅσιε, ἐκ τοῦ σεπτοῦ λειψάνου σου, οἱ δὲ πιστοὶ Χριστῷ ἐβόων·

Ἀλληλούϊα.

Τῆς φθορᾶς τῆς πανώλους, νόσου ἀπαλλαγεῖσα, τῇ χάριτι τῆς θείας σου κάρας ἡ τῆς Ναούσης πόλις σοφέ, χαριστηρίους αἰνέσεις προσῇδέ σοι, προστάτην σε κηρύττουσα, καὶ ἐν χαρᾷ ἀναβοῶσα·

Χαῖρε Ναούσης ὁ πολιοῦχος
Χαῖρε τῆς χάριτος ὁ δᾳδοῦχος
Χαῖρε τῶν θαυμάτων λαβὼν τὴν ἐνέργειαν
Χαῖρε τοῦ Σωτῆρος ἐκφαίνων τὴν εὔνοιαν
Χαῖρε ὅτι ἀπελήλακας νόσον τὴν βροτολοιγὸν
Χαῖρε ὅτι χαρᾶς ἔπλησας τῆς Ναούσης τὸν λαὸν
Χαῖρε τοῦ Παραδείσου εὐωδέστατον ἄνθος
Χαῖρε τῶν Ὀρθοδόξων θεοδώρητον κράτος
Χαῖρε Θεοῦ τῆς χάριτος ὄργανον
Χαῖρε παθῶν πολυφθόρων δρέπανον
Χαῖρε δι' οὗ φυγαδεύονται νόσοι
Χαῖρε δι' οὗ καταπαύονται στόνοι
Χαίροις Πάτερ Θεόφανες.

Ὕμνησε τὸν Σωτῆρα, τὸν πλουσίαν σοι χάριν, παρέχοντα Θεόφανες Πάτερ, ἡ αἱμορροοῦσα γυνή, ἰαθεῖσα διὰ τοῦ θείου λειψάνου σου· πᾶσι γὰρ τοῖς αἰτοῦσί σε, ἀρήγεις καὶ Θεῷ βοῶσιν·

Ἀλληλούϊα.

Φοβερᾶς ἀνομβρίας, Ναουσαῖοι ρυσθέντες, λιτῇ τῆς παναγίας σου κάρας, εὐφήμῳ στόματι εὐλαβῶς, τὴν πρὸς αὐτοὺς ἀρωγήν σου κηρύττουσι, καὶ πίστει σοι προστρέχοντες, βοῶσί σοι ἐν εὐφροσύνῃ·

Χαῖρε Ὁσίων νέων λαμπρότης
Χαῖρε Πατέρων ἡ κοσμιότης
Χαῖρε τῆς Ναούσης προστάτης ὁ μέγιστος
Χαῖρε τῆς Τριάδος θεράπων ὁ ἔνθεος
Χαῖρε ἴαμα σωτήριον ὁ παρέχων τοῖς πιστοῖς
Χαῖρε νόσων ὀλετήριον καὶ ἁπάσης ἀπειλῆς
Χαῖρε ὅτι λυτροῦσαι χαλεπῆς ἀνομβρίας
Χαῖρε ὅτι καθαίρεις μολυνθείσας καρδίας
Χαῖρε πιστῶν θερμὸν καταφύγιον
Χαῖρε παντὸς αἰτοῦντος προσφύγιον
Χαῖρε δι' οὗ Ναουσαῖοι σκιρτῶσι
Χαῖρε πρὸς ὃν ὁμοφώνως βοῶσι
Χαίροις Πάτερ Θεόφανες.

Χάριτος οὐρανίου, μυροθήκη ὁρᾶται, Θεόφανες ἡ θεία σου κάρα, ᾗ προσιόντες μετὰ σπουδῆς, τῆς τῶν παθῶν δυσωδίας ρυόμεθα, καὶ τὴν ἁγίαν μνήμην σου, πανηγυρίζοντες βοῶμεν·

Ἀλληλούϊα.

Ψάλλων σὺν τοῖς Ἀγγέλοις, τῇ ἀνάρχῳ Τριάδι, θεόφρον τὸν τρισάγιον, ἱκέτευε ἀεὶ σὺν αὐτοῖς, πάσης ἀνάγκης λυτροῦσθαι καὶ θλίψεως, τοὺς πόθῳ σοι προσπίπτοντας, καὶ ἀπαύστως σοι ἐκβοῶντας·

Χαῖρε τὸ γέρας Ἰωαννίνων
Χαῖρε τὸ κλέος τῶν Ναουσαίων
Χαῖρε τῶν ἀΰλων Ἀγγέλων συνόμιλε
Χαῖρε τῶν Ἁγίων ἁπάντων ἰσότιμε
Χαῖρε ἅγιον ὑπόδειγμα Μοναζόντων εὐλαβῶν
Χαῖρε πρέσβυς πρὸς τὸν Κύριον εὐσεβῶν Χριστιανῶν
Χαῖρε ὁ προστατεύων τῶν πιστῶς σε τιμώντων
Χαῖρε ὁ ἀπαλλάττων ἐκ κινδύνων καὶ πόνων

Χαῖρε παθῶν σβεννύων τὴν φλόγωσιν
Χαῖρε νοὸς ἐκλύων τὴν πώρωσιν
Χαῖρε δι' οὗ τῷ Θεῷ οἰκειοῦμαι
Χαῖρε δι' οὗ τῶν χειρόνων λυτροῦμαι

Χαίροις Πάτερ Θεόφανες.

Ὦ Θεόφανες Πάτερ, τῆς Ναούσης προστάτα, καὶ μύστα πολιτείας ὁσίας, (ἐκ γ´) παρρησίαν ἔχων πρὸς Χριστόν, διὰ παντὸς ἱκέτευε δεόμεθα, ὑπὲρ τῶν εὐφημούντων σε, καὶ ἐσαεὶ Θεῷ ψαλλόντων·

Ἀλληλούϊα.

Καὶ αὖθις τὸ Κοντάκιον.

Ἦχος πλ. δ´. Τῇ ὑπερμάχῳ.

Τῆς μυστικῆς θεοφανείας θεῖον ὄργανον
Τῇ ἰσαγγέλῳ πολιτείᾳ ἐχρημάτισας
Καὶ θαυμάτων ἐδοξάσθης τῇ χορηγίᾳ.
Ἀλλ' ὡς μέγας τοῦ Θεοῦ θεράπων Ἅγιε
καθικέτευε λυτροῦσθαι πάσης θλίψεως
Τοὺς βοῶντάς σοι, χαίροις Πάτερ Θεόφανες.

Δίστιχον.

Θεόφανες δίδου μοι χάριν θεόθεν
Γερασίμῳ χαῖρέ σοι ἀναβοῶντι.

Δῶρον ἱερὸν πνευματικῶν ἐξ ὕμνων
Παύλου Ποιμένος Βερροίας καὶ Ναούσης
τοῖς τῇ Ἑαυτοῦ Μητροπόλει Ἁγίοις
ὧν λιταῖς φιλάνθρωπε Αὐτὸν φυλάττοις.

